## 24 IANUARIE

# ACATISTUL SF.CUVIOASE XENIA GRIGORIEVNA DE LA ST.PETERSBURG

## ACATISTIERUL PE IANUARIE/GR

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ
# («ΧΑΙΡΕΤΙΣΜΟΙ»)
# ΕΙΣ ΤΗΝ ΟΣΙΑΝ ΜΗΤΕΡΑ ΗΜΩΝ
# ΞΕΝΗΝ ΤΗΝ ΡΩΣΙΔΑ
# ΤΗΝ ΔΙΑ ΧΡΙΣΤΟΝ ΣΑΛΗΝ

# ΟΙΚΟΙ ΕΙΚΟΣΙΤΕΣΣΑΡΕΣ («ΧΑΙΡΕΤΙΣΜΟΙ»)

**Κοντάκιον.**
**Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τὴν ξενοτρόπως τὸν Σωτῆρα μεγαλύνασαν,
Καὶ ἐν μωρίᾳ τὸν βελίαρ καταισχύνασαν·
Μακαρίζομέν σε Ξένη Ὁσία Μῆτερ.
Τοῖς γὰρ ξένοις δοξασθεῖσα κατορθώμασι,
Χάριν ἄφθονον παρέχεις θείῳ Πνεύματι·
Τοῖς βοῶσί σοι· Χαίροις Ξένη πανεύφημε!

Ἄγγελος ἐν τῷ κόσμῳ, ἀληθῶς ἀνεδείχθης, ὦ Ξένη τῇ ὁσίᾳ ζωῇ σου **(ἐκ γ΄)**· καὶ ἀγγελικῶν σε δωρεῶν, ὁ Δεσπότης τῶν ἁπάντων ἠξίωσεν, ἐξ ὧν καὶ ἡμῖν βράβευσον, τοῖς ἐκβοῶσί σοι τοιαῦτα·

χαῖρε δι᾽ ἧς ἡ φθορὰ πατεῖται,
χαῖρε δι᾽ ἧς ὁ Σατὰν σοβεῖται·
χαῖρε τῆς ἐνθέου σοφίας θησαύρισμα,
χαῖρε τῆς εὐφήμου μωρίας διάγραμμα·
χαῖρε ὕψος περιβόητον πολιτείας καθαρᾶς,
χαῖρε βάθος θεοφόρητον ἐνεργείας νοερᾶς·
χαῖρε ὅτι ἐπήρθης γεηρῶν φρονημάτων,
χαῖρε ὅτι ἐρρύσθης τῶν ἐν κόσμῳ πραγμάτων·
χαῖρε Χριστοῦ λαμπὰς ἡ πολύφωτος,

www.tezaurliturgic.ro



χαῖρε πιστῶν ἰσχὺς ἡ ἀήττητος·
χαῖρε δι' ἧς ὁ ἐχθρὸς κατεβλήθη,
χαῖρε δι' ἧς πᾶς πιστὸς ἐνισχύθη·

**Χαίροις Ξένη πανεύφημε!**

Βίου τοῦ φθειρομένου, νουνεχῶς πᾶσαν τέρψιν, παρεῖδες τῇ συνεύνου στερήσει, καὶ Χριστῷ προέκρινας σεμνή, ἀκολουθῆσαι ἀσκητικοῖς σκάμμασιν, ᾧ ἑπομένη χαίρουσα, ἐβόας Ξένη ὁλοψύχως·

**Ἀλληλούϊα.**

Γνώμῃ ἔμφρονι Μῆτερ, τὰ ἐν κόσμῳ ἡδέα, ἡγήσω ὥσπερ σκύβαλα πάντα· τὰ ἄνω γὰρ ποθοῦσα σεμνή, καταλλήλως διετέθης ἐν ἅπασι· διό σε μακαρίζοντες, ἀναβοῶμέν σοι τοιαῦτα·

χαῖρε τῷ πόθῳ Χριστοῦ τρωθεῖσα,
χαῖρε ἡδέων φθαρτῶν ρυσθεῖσα·
χαῖρε τῆς ἀγάπης τῆς θείας κειμήλιον,
χαῖρε τῆς ἀπάτης τοῦ κόσμου καυτήριον·
χαῖρε νοῦς ὁ πλήρης χάριτος ἐν φρονήσει ἀληθεῖ,
χαῖρε στήλη θείων πράξεων ἐν ζωῇ θεοφιλεῖ·
χαῖρε ὅτι νομίμως τὸν ἀγῶνα ὑπῆλθες,
χαῖρε ὅτι ἀνδρείως τὸν βελίαρ καθεῖλες·
χαῖρε ζωῆς ὁσίας γεώργιον,
χαῖρε σεμνῶν γυναίων ἐκλόγιον·
χαῖρε θεσμοὺς φυσικοὺς ὑπερβᾶσα,
χαῖρε εἰκὼν ἀρετῶν καταστᾶσα·

**Χαίροις Ξένη πανεύφημε!**

Δόξαν τὴν τοῦ Σωτῆρος, ὁλικῶς ἐκζητοῦσα, καὶ τούτου τὴν πτωχείαν ποθοῦσα, διένειμας τὸν πλοῦτον τὸν σόν, ταῖς τῶν πενήτων χερσὶ παναοίδιμε, καὶ πλοῦτον τὸν οὐράνιον, εἰσεποιήσω ἐκβοῶσα·

**Ἀλληλούϊα.**

www.tezaurliturgic.ro



Ἐξηχον βίον Μῆτερ, ἐν φρονήσει τελείᾳ, βιοῦσα ἐν πολλῇ ταπεινώσει, διήρχου ἐν ρύμαις καὶ ὁδοῖς, τῆς Πετρουπόλεως οἷάπερ ἄοικος, ὅν οἱ πιστοὶ ἀγάμενοι,ἀνεβόων σοι ἐν ἐκπλήξει·

χαῖρε ἀδάμας τῆς καρτερίας,
χαῖρε δοχεῖον τῆς ἐγκρατείας·
χαῖρε ἀπαθείας λειμὼν ὁ μυρίπνοος,
χαῖρε εὐσταθείας ἀστὴρ ὁ ἀείφωτος·
χαῖρε ὅτι βίον ἔξηχον ἔζησας θεοπρεπῶς,
χαῖρε ὅτι ἀπενέκρωσας τὰς κινήσεις τῆς σαρκός·
χαῖρε ἡ ἐν δυνάμει ἀριστεύσασα θείᾳ,
χαῖρε ἡ θαυμασθεῖσα φύσει ἐν γυναικείᾳ·
χαῖρε Χριστοῦ τὴν δόξαν ποθήσασα,
χαῖρε ἐχθροῦ τὸ θράσος αἰσχύνασα·
χαῖρε φθαρτῶν παριδοῦσα τὴν σχέσιν,
χαῖρε Θεοῦ θεωροῦσα τὴν αἴγλην·

**Χαίροις Ξένη πανεύφημε!**

Ζῶσα ἐν ταπεινώσει, καὶ πτωχείᾳ Ὁσία, καὶ πάσῃ ἀληθῶς κακουχίᾳ, ὑπερέβης θεσμοὺς φυσικούς, καὶ ὑπερφυοῦς χάριτος ἠξίωσαι, ὦ Ξένη θεοδόξαστε, παρὰ Κυρίου ᾧ ἐβόας·

**Ἀλληλούϊα.**

Ἤνεγκας μακαρία, τῇ ἀγάπῃ τῇ θείᾳ, τὴν σὴν πυρπολουμένην καρδίαν, δριμυτάτου χειμῶνος κρυμόν, τῇ θεϊκῇ θαλπομένη χρηστότητι· διὸ τὴν καρτερίαν σου, θαυμάζοντες ἀναβοῶμεν·

χαῖρε γυνὴ ἡ ὄντως ἀνδρεία,
χαῖρε ἀλκὴ γυναίων ἁγία·
χαῖρε παγετοῦ κρυμὸν ὑπομείνασα,
χαῖρε οὐρανῶν ἐν τῇ θάλπει σκηνώσασα·
χαῖρε σκήνωμα πολύτιμον ἐπιπνοίας θεϊκῆς,
χαῖρε ἴνδαλμα θεόγλυπτον καρτερίας ψυχικῆς·
χαῖρε ὅτι ὑπέστης τοῦ χειμῶνος τὴν ρύμην,
χαῖρε ὅτι ἐπήρθης πρὸς ἀΐδιον λῆξιν·
χαῖρε Χριστοῦ τὸ πῦρ ὑπεμφαίνουσα,

χαῖρε παθῶν τὴν ὕλην ἐκκαίουσα·
χαῖρε πιστῶν πολυθαύμαστον θάμβος,
χαῖρε ψυχῶν ἀκεσώδυνον ἄκος·

**Χαίροις Ξένη πανεύφημε!**

Θαύμασιν ἐδοξάσθης, παραδόξως Ὁσία, οἷα θεράπαινα τοῦ Κυρίου· ἐντεῦθεν παρέχεις τοῖς πιστοῖς, τὴν σὴν ταχεῖαν ἐν ἀνάγκαις βοήθειαν· διὸ Ξένη πάντοτε, τῷ σὲ δοξάσαντι βοῶμεν·

**Ἀλληλούϊα.**

Ἴσχυσας μακαρία, ἐν ἰσχύϊ τῇ θείᾳ, τοὺς πόνους ἐνεγκεῖν τοὺς ἀτρώτους· ἡ γὰρ δύναμις τοῦ Χριστοῦ, ἐν τῷ θνητῷ σου σώματι δεδόξασται· καὶ ἅπαντας διήγειρας, τοῦ βοᾶν σοι ἐν εὐλαβείᾳ·

χαῖρε Χριστοῦ πολύτιμον σκεῦος,
χαῖρε πιστῶν θεόσδοτον σθένος·
χαῖρε στερροτέρα γυναικείας φύσεως,
χαῖρε τορωτάτη ἐν πόνοις ἀσκήσεως·
χαῖρε θεῖον ἐνδιαίτημα ἀρετῶν θεοειδῶν,
χαῖρε θησαυρὸς ἀσύλητος δωρημάτων θεϊκῶν·
χαῖρε ὅτι ἐν ὕλῃ ὑπὲρ ὕλην ἐδείχθης,
χαῖρε ὅτι τῆς θείας φωταυγείας ἐπλήσθης·
χαῖρε παθῶν κοπάσασα κλύδωνα,
χαῖρε ψυχῶν ὀρθοῦσα πᾶν σύντριμμα·
χαῖρε χαρᾶς μετασχοῦσα τῆς θείας,
χαῖρε ἐχθροῦ λυτρουμένη μανίας·

**Χαίροις Ξένη πανεύφημε!**

Κόπους σου τοὺς ἀμέτρους, οὓς πλαστῇ ἐν μωρίᾳ, μετῆλθες ἐν σαρκὶ μακαρία, δεξάμενος Χριστὸς ὁ Θεός, ἐν οὐρανίοις σε σκηναῖς ἐσκήνωσεν, οὗ ὁρῶσα τὴν ἔλλαμψιν, ἐν εὐφροσύνῃ ἀεὶ ψάλλεις·

**Ἀλληλούϊα.**

Λάμψασα ἐν Ρωσίᾳ, πολιτείᾳ ἁγίᾳ, κεκαλυμμένῃ πλαστῇ μωρίᾳ, τῶν πάλαι Ὁσίων ἀσκητῶν, ἰσοστάσιος Μῆτερ ἀναδέδειξαι, μεθ' ὧν Χριστὸν ἱκέτευε, ὑπὲρ τῶν πίστει σοι βοώντων·

χαῖρε Ρωσίας λαμπὰς ἁγία,
χαῖρε χαρίτων ἔμπνους λυχνία·
χαῖρε θεοφρόνων Γυναίων καλλώπισμα,
χαῖρε ἀοράτων δυνάμεων σύντριμμα·
χαῖρε τύπος καὶ ὑπόδειγμα ἀληθοῦς ὑπομονῆς,
χαῖρε ἄνθος εὐθαλέστατον τῆς ἐν Πνεύματι ζωῆς·
χαῖρε ὅτι μωρίαν νουνεχῶς ὑπεκρίθης,
χαῖρε ὅτι πρὸς δόξαν οὐρανῶν ἀνεκλήθης·
χαῖρε πολλῶν μελλόντων ἡ πρόγνωσις,
χαῖρε φθαρτῶν ματαίων ἀπόρριψις·
χαῖρε πιστῶν βεβαιοῦσα τὰς φρένας,
χαῖρε ψυχῶν σμήχουσα τὰς ἰδέας·

**Χαίροις Ξένη πανεύφημε!**

Μνῆμα τὸ σὸν Ὁσία, ἐπινεύσει τῇ θείᾳ, ἰάματα παρέχει ποικίλα· οἱ γὰρ προσιόντες εὐλαβῶς, λαμβάνουσι σωτήρια αἰτήματα, τῇ θείᾳ μεσιτείᾳ σου, τῷ σὲ δοξάσαντι βοῶντες·

**Ἀλληλούϊα.**

Νοῦν θεόφρονα σχοῦσα, τὴν ζωήν σου Ὁσία, ἐκόσμησας ἐν πράξεσι θείαις, καὶ ταύτας ἐν μωρίᾳ πλαστῇ, καλύπτουσα τὸν ἐχθρὸν ἀπεμώρανας, τοὺς δὲ πιστοὺς ἐπεύφρανας, βοῶντάς σοι ἐν πίστει ταῦτα·

χαῖρε τῆς θείας σοφίας πλήρης,
χαῖρε ἀγάπης πλουσίας μύστις·
χαῖρε ἡ συνέσει τὸν βίον κοσμήσασα,
χαῖρε ἡ μωρίᾳ ἐχθρὸν καταισχύνασα·
χαῖρε κλῆμα εὐφορώτατον τῆς ἀμπέλου τῆς ζωῆς,
χαῖρε βότρυς ὁ γλυκύτατος ἐνεργείας θεϊκῆς·
χαῖρε ὅτι θαυμάτων ἐκομίσω τὴν χάριν,
χαῖρε ὅτι κινδύνων κατευνάζεις τὴν ζάλην·

www.tezaurliturgic.ro



χαῖρε εἰκὼν τῆς ἔνδον λαμπρότητος,
χαῖρε ἀκτὶς τῆς θείας χρηστότητος·
χαῖρε ζωῆς ἀπολαύουσα θείας,
χαῖρε λαμπρὰς χορηγοῦσα ἐννοίας·

**Χαίροις Ξένη πανεύφημε!**

Ξενοτρόπως Ὁσία, τὴν ἁγίαν ζωήν σου, τελέσασα Χριστοῦ τῇ δυνάμει, ξενίζεις τὰς καρδίας ἡμῶν, ταῖς ἐνεργείαις τῶν ξένων θαυμάτων σου, καὶ διεγείρεις ἅπαντας, σὺν σοὶ Ξένη Χριστῷ κραυγάζειν·

**Ἀλληλούϊα.**

Ὄμβροις δακρύων Μῆτερ, μυστικῶς ἀρδομένη, καὶ θείαις προσευχαῖς ὑψουμένη, ὡς δένδρον εὔκαρπον ἀληθῶς, τῆς ἀφθαρσίας τοὺς καρποὺς ἐξήνεγκας, δι' ὧν ἐκτρέφεις ἅπαντας, τοὺς ὁμοφώνως σοι βοῶντας·

χαῖρε Ὁσία ἡγιασμένη,
χαῖρε ἐν πᾶσι λελαμπρυσμένη·
χαῖρε ἡ λαθοῦσα τοὺς πλείστους τῷ βίῳ σου,
χαῖρε ἡ πιστοῦσα πιστοὺς θείῳ τρόπῳ σου·
χαῖρε ὅτι περιβέβλησαι ἀπαθείας τὴν στολήν,
χαῖρε ὅτι ἀπεγύμνωσας τοῦ δολίου τὴν ἰσχύν·
χαῖρε ἡ ἐν κόσμῳ ἔξω κόσμου φανεῖσα,
χαῖρε ἡ οὐρανόθεν φωτὸς θείου πλησθεῖσα·
χαῖρε παθῶν ἐκπλύνουσα βόρβορον,
χαῖρε ἐχθρῶν ἐκτρέπουσα ὅμιλον·
χαῖρε παθῶν θεραπεία δυστλήτων,
χαῖρε καλῶν χορηγία ἀΰλων·

**Χαίροις Ξένη πανεύφημε!**

Πάντες οἱ θεωροῦντες, ἐν χειμῶνί σε Μῆτερ, τῷ κρύει τῷ πικρῷ πηγνυμένην, τὴν σὴν ἄτρεπτον ὑπομονήν, ἐξίσταντο· ὅτι ὥσπερ ἀσώματος, ὡς ἐν θάλπει ἵστασο, τῷ ἐνδυναμοῦντί σε βοῶσα·

www.tezaurliturgic.ro



**Ἀλληλούϊα.**

Ρῶσιν καὶ εὐφροσύνην, καὶ χαρὰν καὶ εἰρήνην, ὑγείαν καὶ παθῶν θεραπείαν, οἱ τῷ θείῳ τάφῳ σου σεμνή, πιστῶς προσιόντες ἀεὶ κομίζονται· πάντων γὰρ τὰ αἰτήματα, ἐκπληροῖς τῶν σοὶ βοώντων·

χαῖρε ἡ ρῶσις τῶν ἀσθενούντων,
χαῖρε ἡ πτῶσις τῶν δυσσεβούντων·
χαῖρε συμπαθείας πηγὴ ἀνεξάντλητος,
χαῖρε εὐσπλαγχνίας τῆς θείας ἀνάπλεως·
χαῖρε δρόσος θεοστάλακτος ἐν καρδίαις τῶν πιστῶν,
χαῖρε ἴαμα σωτήριον τῶν ψυχῶν τῶν πασχουσῶν·
χαῖρε ὅτι προφθάνεις θᾶττον τοὺς σὲ καλοῦντας,
χαῖρε ὅτι εὐφραίνεις τοὺς πιστῶς σε ὑμνοῦντας·
χαῖρε πολλῶν λυπουμένων λύτρωσις,
χαῖρε νεφρῶν ἀσθενούντων ἴασις·
χαῖρε δι' ἧς οἱ λοιμοὶ φανεροῦνται,
χαῖρε δι' ἧς εὐσεβεῖς κραταιοῦνται·

**Χαίροις Ξένη πανεύφημε!**

Στέφος καὶ θεῖον γέρας, τῆς πατρίδος σου πέλεις, καὶ πάσης Ἐκκλησίας λαμπρότης· ἡ σὴ γὰρ πολιτεία σεμνή, καὶ τῶν θαυμάτων σου τὰ ἐνεργήματα, ἡμᾶς καταλαμπρύνουσι, καὶ συγκινοῦσι Χριστῷ ψάλλειν·

**Ἀλληλούϊα.**

Τῷ ἀμέμπτῳ σου βίῳ, δοξασθεῖσα ἀξίως, συνήφθης τῶν Ἁγίων τοῖς δήμοις, μεθ' ὧν θεουμένη θαυμαστῶς, καὶ τῶν πόνων δεχομένη τὰ ἔπαθλα, ἱκέτευε δεόμεθα, ὑπὲρ ἡμῶν τῶν ἐκβοώντων.

χαῖρε Ἁγίων ἡ συμπολῖτις,
χαῖρε ἁπάντων ἡμῶν προστάτης·
χαῖρε θεουμένη Θεοῦ κατὰ μέθεξιν,
χαῖρε θεωμένη Κυρίου τὴν ἔλλαμψιν·

χαῖρε ὕμνον ἀναμέλπουσα τὸν Τρισάγιον Θεῷ,
χαῖρε χάριν ἡ βραβεύουσα τῷ λαῷ σου τῷ πιστῷ·
χαῖρε ὅτι τῶν ὅρων τῶν γηΐνων ἐλύθης,
χαῖρε ὅτι Ἀγγέλων ταῖς χορείαις συνήφθης·
χαῖρε ζωῆς ἀλήκτου μετέχουσα,
χαῖρε χαρὰν τὴν κρείττω παρέχουσα·
χαῖρε δι' ἧς τῶν παθῶν ἐκλυτροῦμαι,
χαῖρε δι' ἧς τῷ Θεῷ οἰκειοῦμαι·

**Χαίροις Ξένη πανεύφημε!**

Υμνον πιστῶς κροτοῦμεν, καὶ συμφώνως ὑμνοῦμεν, τοῦ βίου σου σεμνὴ τοὺς ἀγῶνας· ἀλλ' ὦ Ξένη Μῆτερ θαυμαστή, τῆς οὐρανίου ξενίας ἀξίωσον, ταῖς πρὸς Χριστὸν πρεσβείαις σου, τοὺς εὐλαβῶς ἀεὶ βοῶντας·

**Ἀλληλούϊα.**

Φῶς ὁρῶσα τὸ θεῖον, τῆς Ἁγίας Τριάδος, λυθέντων τῶν δεσμῶν τοῦ σαρκίου, ἐκ σκότους ῥῦσαι ἡμᾶς παθῶν, ταῖς φωτοφόροις πρεσβείαις σου πάνσεμνε, καὶ τῷ φωτὶ τῆς χάριτος, καταύγασον τοὺς ἐκβοῶντας·

χαῖρε φωτὸς τρυφῶσα τοῦ θείου,
χαῖρε θεράπαινα τοῦ Κυρίου·
χαῖρε τῶν Ἁγίων Ἀγγέλων συνόμιλος,
χαῖρε τῶν Ὁσίων ἁπάντων ὁμόσκηνος·
χαῖρε θείῳ διαδήματι κοσμουμένη νοερῶς,
χαῖρε αἴγλην τὴν Τρισήλιον δεχομένη θεουργῶς·
χαῖρε ὅτι μετέχεις δωρεῶν ἀθανάτων,
χαῖρε ὅτι ἐκλάμπεις ἐνεργείας θαυμάτων·
χαῖρε πιστῶν πληροῦσα πᾶν αἴτημα,
χαῖρε ἡμῖν αἰτοῦσα τὰ κρείττονα·
χαῖρε ψυχῶν ἀθυμίαν σοβοῦσα,
χαῖρε ἐχθρῶν τὴν μανίαν πατοῦσα·

**Χαίροις Ξένη πανεύφημε!**

www.tezaurliturgic.ro



Χάριν θείαν Ἁγία, καὶ πταισμάτων τὴν λύσιν, καὶ λύτρωσιν παθῶν ἀκαθάρτων, ἐξαίτει τοῖς ἐν πίστει θερμῇ, αἰτουμένοις τὴν θερμήν σου ἀντίληψιν· πρὸς σὲ γὰρ καταφεύγομεν, Ξένῃ καὶ τῷ Χριστῷ βοῶμεν·

**Ἀλληλούϊα.**

Ψῦξον τὰς τῶν παθῶν μου, θολερὰς ἀναβλύσεις, τῇ θέρμῃ τῶν σεπτῶν πρεσβειῶν σου, καὶ δίδου μοι δακρύων πηγήν, καὶ κατανύξεως ἀφορμὰς πάνσεμνε· ἰδοὺ γάρ σοι προσέρχομαι, καὶ οὐ παύομαι ἐκβοᾶν σοι·

χαῖρε ἡ λύσις τῆς ἀθυμίας,
χαῖρε ἡ ρύστις τῆς ἀπονίας·
χαῖρε ψυχικῶν συντριμμάτων ἀνόρθωσις,
χαῖρε θεϊκῶν χαρισμάτων διάδοσις·
χαῖρε συμπαθὴς μεσίτρια εὐσεβῶν πρὸς τὸν Χριστόν,
χαῖρε σκέπη καὶ βοήθεια τῶν τιμώντων σε πιστῶς·
χαῖρε ἡ κληρονόμος τῆς Χριστοῦ βασιλείας,
χαῖρε ἡ λαμπαδοῦχος τῆς σεπτῆς Ἐκκλησίας·
χαῖρε δ' ἧς φθορᾶς λυτρωθήσομαι,
χαῖρε δι' ἧς φωτὸς πληρωθήσομαι·
χαῖρε τρυφὴ εὐσεβῶν Ὀρθοδόξων,
χαῖρε σκηπτὸς δυσσεβῶν καὶ ἀφρόνων·

**Χαίροις Ξένη πανεύφημε!**

Ὦ θεόληπτε Μῆτερ, παλαισμάτων ἁγίων, ξενόμορφε εἰκὼν σεμνὴ Ξένη **(ἐκ γ΄)**· ξενίας τῆς ξένης καὶ λαμπρᾶς, ἐν οὐρανοῖς καὶ ἡμᾶς καταξίωσον, τοὺς πάντοτε ὑμνοῦντάς σε, καὶ τῇ Τριάδι ἐκβοῶντας·

**Ἀλληλούϊα.**

**Καὶ αὖθις τὸ Κοντάκιον.**

www.tezaurliturgic.ro



**Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.**

Τὴν ξενοτρόπως τὸν Σωτῆρα μεγαλύνασαν,
Καὶ ἐν μωρίᾳ τὸν βελίαρ καταισχύνασαν·
Μακαρίζομέν σε Ξένη Ὁσία Μῆτερ.
Τοῖς γὰρ ξένοις δοξασθεῖσα κατορθώμασι,
Χάριν ἄφθονον παρέχεις θείῳ Πνεύματι·
Τοῖς βοῶσί σε· Χαίροις Ξένη πανεύφημε!

